CHR. Τεκνίδιον κακοῦ πατρός.] Adludit ad versum Æschyli ex Prometheo soluto puto, cùm enim Prometheus liberatorem suum Herculem cum arcu & sagittis auxiliaturum sibi vidisset, dixit, ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον. i. Hęc chara proles patris inuisissimi. Plutarchus vitam Pompeii ab hoc Æschuleo versu ordiri voluit. paulò post pro διατιθεῖσ' quasi sit pro διατιθεῖσα lego vt in Veneta editione διατίθεις, & mox ἄπειμι ἐκεῖσε extrito ι. & σὺ δ' ἀλλὰ non ἄλλα. Δράσεις τοῦτο.] Lege vel bis τοῦτο, vt sit τοῦθ' ὅπου &c. vel δράσεις τοῦθ' ὅπου τοῦτί πανὸς καλόν. Sed nihilominus obscurus mihi est locus, ac nescio an πανόσκαλον melius de quo Hesychius, nisi quod per ω effert τὸ σκῶλον. Mihi autem videtur innui antrum Panos.

B

Κι. Κάλλιστα δήπου λουσαμένη τῇ Κλεψύδρᾳ.

Μυ. Ἔπειτ' ὀμόσασα δῆτ' ἐπιορκήσω τάλαν;

Κι. Εἰς ἐμὲ τράποιτο. μηδὲν ὅρκου φροντίσῃς.

Μυ. Φέρε νῦν ἐνέγκω κλινίδιον νῷν. Κι. μηδαμῶς.

Ἀρκεῖ χαμαὶ νῷν. Μυ. μὰ τὸν Ἀπόλλω μή σ' ἐγὼ

Καίπερ τοιοῦτον ὄντα κατακλινῶ χαμαί.

Κι. Ἡ δή γυνή φιλεῖ με. δήλη 'στὶ καλῶς.

C Μυ. Ἰδοὺ κατάκεισ' ἀνύσας τι. κἀγὼ 'κδύομαι

Καίτοι τὸ δεῖνα ψίαθός ἐστ' ἐξοιστέα.

Κι. Ποία ψίαθος; μή μοί γε. Μυ. νὴ τὴν Ἄρτεμιν.

Αἰσχρὸν γὰρ ἐπὶ τόνου γε. Κι. δός μοι νῦν κύσαι.

D Μυ. Ἰδού. Κι. παπαιάξ. Μυ. ἧκε νῦν ταχέως πάνυ.

Ἰδοὺ ψίαθος. κατάκεισο. καὶ δὴ 'κδύομαι.

Καίτοι τὸ δεῖνα προσκεφάλαιον οὐκ ἔχεις.

Κι. Ἀλλ' οὐ δέομ' οὐδὲν ἔγωγε. Μυ. νὴ Δί' ἀλλ' ἐγώ.

Κι. Ἀλλ' ἤτοι τὸ πέος τόδ' Ἡρακλῆς ξενίζεται.

CIN. *Rectè atque bellè ad Clepsydram fontem lauans.*

MVR. *An veierem vis inepte quæ iurauerim?*

CIN. *Depone curam hanc, iste erit mecum labor.*

MVR. *Ibo, afferamque culcitam nobis.* CI *sine,*

*Humus ipsa nobis sufficit.* Mv. *nullo modo*

*Ne te reclinem quamlibet grandem solo.*

CI. *Apparet hanc me pulchrè amare fœminam.*

MV. *Eia recumbe, quæso, donec exuor,*

*Tamen ferenda nescio vnde stragula.*

CI. *Quæ stragula? haud quidem mihi.* MV. *attamen*

*In pelle turpe est per Dianam.* CI. *Da osculum.*

*MVR. Eccum.* CI. *Papæax, nunc adesdum huc ocyus.*

*MVR. En stragula, en nunc accubes, mox exuar*

*Sed nullus hic puluillus est adhuc tibi.*

CI. *Nil certè opus nunc est mihi.* MV. *Certè est mihi.*

CI *Nisi mentula instar hospitis sit Herculis,*

BISETVS. Τῇ Κλεψύδρᾳ.] Κλεψύδρα, ἡ πηγή. διὰ τὸ ποτὲ μὲν πλημμυρεῖν, ποτὲ δὲ ἐνδεῖν. Σ. καὶ, Κλεψύδρα κρήνη, ἥτις τὸ πρότερον Ἐμπεδὼ προσηγορεύετο. ἔχει δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸν Φαληρέα δῆμον. Ἡσύχιος. τὰ σχόλια εἰς Σφῆκας οὕτω, Κλεψύδρα, κρήνη ἐν τῇ Ἀττικῇ, ἥτις Ἐμπεδὼ προσηγορεύετο. καὶ ἐν Ὄρνισι, Κλεψύδρα, κρήνη ἐν Ἄργει. καὶ Κλεψύδρα, κρήνη ἐν Ἀκροπόλει. περὶ ἧς νῦν ὁ λόγος εἶναι φαίνεται. οὕτω δὲ ὠνόμασται ἐπὶ ἀρχομένων τῶν Ἐτησίων πληροῦται. παυομένων δὲ, λήγει. ἀλλαχοῦ δ' ἄλλα σημαίνει. ἐνταῦθα δὲ παίζας, ὁ γέλωτος χάριν τὸ ἀνδρὸς αἰδοῖον, οὕτω καλεῖσθαι δοκεῖ, ὅτι καὶ τοῦτο κλεψύδρας δίκην ῥεῖ. περὶ δὲ τούτων ὁ ἄνω διὰ πλειόνων προείρηται. Εἰς ἐμὲ τράποιτο.] δηλονότι τὸ ἐπιορκίας ἡ κατάρα, ὁ τιμωρεία. Νῦν ἐνέγκω] τινὲς μετ' ἐρωτήσεως ταῦτα γράφουσι. Κατακλινῶ.] κατακλινῶ νῦν ἐνεργητικῶς ληπτέον, ἀντὶ τοῦ, ἐγὼ μηδαμῶς σε χαμαὶ κατακλίνειν ποιήσομαι, καίπερ ὄντα τοιοῦτον, τουτέστιν ἐμοῦ οὕτως ἐρῶντα, καὶ τὸ συνουσίας ἐπιθυμοῦντα. Καίτοι τὸ δεῖνα.] ὅτε τι δυσχερὲς μέλλομεν λέγειν, εἰώθαμεν τοῦτο προτάσσειν ὡς μὴ εὐθυρρημονοῦντες. ψίαθος δὲ, χαμεύνη, ὁ τὸ φυτὸν ἐξ οὗ πλέκεται ψίαθος. ὅθεν ψιάθια, τὰ ἐν τοῖς δικαστηρίοις ἐπὶ τῶν καθεδρῶν ἐπεστρωμένα. Ἡσύχιος. καὶ ὁ ψίαθος ἀρσενικῶς, καὶ ἡ ψίαθος θηλυκῶς λέγεται. Ἐπὶ τόνου] τόνος, τὸ κραββατίου τὰ σχοινία. Σ. ὅτι δὲ ταῦτα τείνεται, εἴτε ἐπιτείνεται πρὸς τὸ δέχεσθαι τὰ στρώματα, διὰ τοῦτο καλεῖται τόνος. κύσαι δὲ, φιλῆσαι. ὅθεν κῦμα, τὸ φίλημα. ἧκε δὲ, ἐλθέ. καὶ δὴ 'κδύομαι, καὶ δὴ ἐκδύομαι. ταῦτα δὲ πάντα τοῦ Κινησίου τὴν ἀκράτειαν, καὶ περὶ τὰς συνουσίας ἀκολασίαν δηλοῖ. Ἀλλ' ἤ.] ἄλλως, κατ' ἄλλο μέρος. κατ' ἄλλην χώραν, ἢ κατὰ τὴν προσήκουσαν ξενίζεται καὶ ἀποδημεῖ. ὁ νοῦς ἐστι, τὸ πέος οὐκ ἐν τῇ ἑαυτοῦ χώρᾳ ἐστὶν, ἀλλὰ ξενίζεται, ὁ ἀποδημεῖ. τουτέστιν οὐκ εἰσέρχεται εἰς τόπον, εἰς ὃν πρότερον εἰώθει εἰσελθεῖν. γράφεται καὶ ἀλλ' ἤ, ἤγουν ἀλλὰ ὄντως. τὸ γὰρ ἤ ψιλούμενον, καὶ περισπώμενον σύνδεσμον δηλοῖ παραπληρωματικὸν ἴσον τῷ δή. καὶ ἤ, ἀληθῶς, ὄντως. Ἡσύχιος. στρόφιον δὲ, τὸ γυναικεῖον ζωνάριον στρογγύλον. Σ.

CHR. Τῇ Κλεψύδρᾳ.] Clepsydra fons Athenis quæ prius dicta ἐμπεδὼ (puto qua ratione ἀΐδης dicitur ἔμπεδος) & sub terram fertur viginti stadiis ab Acropoli. Sic autem vocatur, ait Sudas, quia interdum exundat, interdum verò deficit. sed verecundè arbitror ludere Comicum ad virilem penem qui etiam dicitur κλέψυδρος, quia ὕδωρ κλέπτει vt dixit in Vesparum fabula. Αἰσχρὸν γὰρ ἐπὶ τόνου γε.] Vox τόνου auctore suda, etiam significat τοῦ κραββατίου τὰ σχοινία. Sed lege hic cum Veneta editione ἐπ' ἐπιτόνου. Est autem ἐπίτονος δέρμα ᾧ κατησφάλισται ὁ ἱστός (sic enim lego apud Hesychium non τὸ ἴσον) τῆς νεώς. Sudas ad hunc locum dixit γελοῖον ἐπὶ δέρματος, ὅμηρος ἐπίτονος βέβλητο.